ται παρὰ τοῦ κυρίου τἀγαθὸν αἰτεῖν, πάντες τε, οὓς μὲν
ἂν φιλῶσι καὶ οἷς ἂν χαίρωσι, τούτοις διδόασι τἀγαθά,
πρὸς δὲ οὓς ἐναντίως ἔχουσι, τἀναντία, δῆλον ὅτι ταῦτα
138 πρακτέον, οἷς τυγχάνει ὁ θεὸς χαίρων. ταῦτα δὲ οὐ ῥᾴδιον
εἰδέναι, ἂν μή τις ἢ θεοῦ ἀκηκοότος ἢ θεοῦ ἀκούσῃ ἢ
διὰ τέχνης θείας πορίζηται. διὸ καὶ περὶ τὴν μαντικὴν
σπουδάζουσι· μόνη γὰρ αὕτη ἑρμηνεία τῆς παρὰ τῶν θεῶν
διανοίας ἐστί. καὶ ὁμῶς δὲ τὴν αὐτῶν πραγματείαν ἀξίαν
⟨ἄν⟩ τῳ δόξειεν εἶναι τῷ οἰομένῳ θεοὺς εἶναι, τοῖς δ᾽ εὐή-
θειαν θάτερον τούτων καὶ ἀμφότερα. ἔστι δὲ καὶ τῶν ἀπο-
ταγμάτων τὰ πολλὰ ἐκ τελετῶν εἰσενηνεγμένα, διὰ τὸ
οἴεσθαί τι εἶναι αὐτοὺς τὰ τοιαῦτα καὶ μὴ νομίζειν ἀλα-
ζονείαν, ἀλλ᾽ ἀπό τινος θεοῦ ἔχειν τὴν ἀρχήν. καὶ τοῦτό
γε πάντες οἱ Πυθαγόρειοι ὁμῶς ἔχουσι πιστευτικῶς, οἷον
περὶ Ἀριστέου τοῦ Προκοννησίου καὶ Ἀβάριδος τοῦ Ὑπερ-
βορέου τὰ μυθολογούμενα καὶ ὅσα ἄλλα τοιαῦτα λέγεται.
πᾶσι γὰρ πιστεύουσι τοῖς τοιούτοις, πολλὰ δὲ καὶ αὐτοὶ
πειρῶνται, τῶν τοιούτων δέ, τῶν δοκούντων μυθικῶν,
ἀπομνημονεύουσιν ὡς οὐδὲν ἀπιστοῦντες ὅ τι ἂν εἰς τὸ
139 θεῖον ἀνάγηται. ἔφη γοῦν Εὔρυτόν τις λέγειν ὅτι φαίη
ποιμὴν ἀκοῦσαί τινος ᾄδοντος, νέμων ἐπὶ τῷ τάφῳ τοῦ
Φιλολάου, καὶ τὸν οὐθὲν ἀπιστῆσαι, ἀλλ᾽ ἐρέσθαι τίνα
ἁρμονίαν. ἦσαν δὲ οὗτοι ἀμφότεροι Πυθαγόρειοι, καὶ μα-
θητὴς Εὔρυτος Φιλολάου. φασὶ δὲ καὶ τῷ Πυθαγόρᾳ τινά
ποτε λέγειν ὅτι δοκοίη ποτὲ ἐν τῷ ὕπνῳ τῷ πατρὶ δια-
λέγεσθαι τεθνεῶτι καὶ ἐπερέσθαι· ʽτίνος τοῦτο [τὸ] ση-